~~ABS.1.81.24~~
6 ABS.1.81.21

Jessie Maclean

A. McLellan

High School

Glasgow

Charles

ANACREONTIS

CARMINA,

CUM

SAPPHONIS,

ET

ALCÆI

FRAGMENTIS.

Isabel M Brown.

NATIONAL LIBRARY OF SCOTLAND

Nec, si quid olim lusit ANACREON,
Delevit aetas——— HOR.

——*Spirat adhuc amor*
Vivuntque commissi calores
ÆOLIÆ *fidibus* PUELLÆ. Idem.

Et te sonantem pleniùs aureo,
ALCÆE, *plectro*——
Exactos tyrannos. Idem.

ΑΙ ΤΟΥ

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩιΔΑΙ,

ΚΑΙ ΤΑ ΤΗΣ

ΣΑΠΦΟΥΣ,

ΚΑΙ ΤΑ ΤΟΥ

ΑΛΚΑΙΟΥ

ΛΕΙΨΑΝΑ.

———*σπουδάζοντες, εἴτε παίζοντες.*

EDINBURGI:

E Prelo Academico.

VENEUNT APUD BELL & BRADFUTE,

1808.

NATIONAL LIBRARY OF SCOTLAND
D
23 JA 1981

ʽΑΙ ΤΟΥ

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩιΔΑΙ.

INDEX.

ANACREONTIS.

		Pag
Ode 1.	In Lyram,	13
2.	In Fœminas,	15
3.	In Amorem,	16
4.	De Seipso,	19
5.	In Rosam,	21
6.	In Eandem,	23
7.	In Amorem,	25
8.	In Somnium suum,	26
9.	Ad Columbam,	27
10.	In cereum Cupidinem,	30
11.	De Seipso,	32
12.	In Hirundinem,	33
13.	De Seipso,	34
14.	In Cupidinem,	35
15.	De Seipso,	37
16.	De Seipso,	38
17.	In Poculum argenteum,	39
18.	In idem,	40
19.	Quòd oporteat bibere,	42
20.	Ad Puellam,	*ib.*

INDEX.

ANACREONTIS.

		Pag.
Ode 21.	De Seipso,	44
22.	Ad Bathyllum,	*ib.*
23.	In Aurum,	45
24.	De Seipso,	47
25.	In Seipsum,	48
26.	In Seipsum,	49
27.	In Dionysum,	50
28.	De Amicâ suâ,	51
29.	De Bathyllo,	54
30.	In Cupidinem,	57
31.	In Seipsum,	58
32.	De suis Amoribus,	60
33.	Ad Hirundinem,	62
34.	Ad Puellam,	63
35.	De Europâ,	64
36.	Quòd liberè sit Vivendum,	65
37.	De Vere,	66
38.	De Seipso,	67
39.	De Seipso,	68
40.	De Cupidine,	70
41.	In Symposium,	71
42.	De Seipso,	73
43.	Ad Cicadam,	74
44.	De Somnio suo,	75
45.	De Cupidinis Sagittis,	76

INDEX.

ANACREONTIS.

Pag.

ODE 46. In Amorem, ... 78
47. Aliud Odarium, ... 79
48. Aliud Odarium, ... *ib.*
49. Aliud, ... 80
50. In Bacchum, ... 81
51. In Discum Venerem exhibentem,. 82
52. In Vinum, ... 84
53. In Rosam, ... 86
54. De Seipso, ... 89
55. In Amatores, Odarium, ... 90

SAPPHONIS FRAGMENTA, ... 93

ALCÆI FRAGMENTA, ... 101

ΑΙ ΤΟΥ

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩιΔΑΙ.

Α΄.—ΕΙΣ ΛΥΡΑΝ.

ΘΕ΄ΛΩ λέγειν Ἀτρεΐδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἁ βάρϐιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην
Καὶ τὴν λύρην ἅπασαν·

ANACREONTIS
CARMINA.

I.—In LYRAM.

Volo dicere Atridas; volo etiam Cadmum canere: barbitos verò fidiculis *suis* amorem unicum ſonat. Mutavi nervos pridem, lyramque *adeò* univerſam; atque ego quidem

Κἀγὼ μὲν ἦδον ἄθλες
Ἡρακλέες. λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνες ἔρωτας ᾄδει.

---

canebam labores Herculis; lyra verò amores è-contrario ſonabat. Valeatis *ergo* in-futurum nobis, ô heroes; lyra etenim *nostra* ſolos amores canit.

Β΄.—ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φύσις κέρατα ταύροις,
Ὁπλὰς δ᾽ ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,
Λέουσι χάσμ᾽ ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν,
Τοῖς ὀρνέοις πέτασθαι,
Τοῖς ἀνδράσι φρόνημα·
Γυναιξὶν οὐκ ἔτ᾽ εἶχεν.
Τί οὖν δίδωσι; κάλλος·
Ἀντ᾽ ἀσπίδων ἁπασῶν,
Ἀντ᾽ ἐγχέων ἁπάντων.
Νικᾷ δὲ καὶ σίδηρον,
Καὶ πῦρ, καλή τις ἐοῦσα.

II.—IN FOEMINAS.

Natura cornua tauris, ungulasque dedit equis, pedum-pernicitatem leporibus, leonibus hiatum dentium, piscibus natandi facultatem, avibus volare, viris animositatem, *et bellicam virtutem :* fœminis non amplius habuit, *quod daret.* Quid igitur dat *iis ?* Pulchritudinem, *quæ* instar clypeorum omnium, instar *est* hastarum omnium ; quinimo vincit etiam ferrum, atque ignem *ipsum*, si qua pulchra sit.

Γʹ. ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα
Κέαται κόπῳ δαμέντα·
Τότ' Ἔρως ἐπισταθείς, μευ
Θυρέων ἔκοπτ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατά μευ σχίσεις ὀνείρους.
Ὁ δ' Ἔρως, ἄνοιγε, φησὶ,
Βρέφος εἰμὶ, μὴ φοβῆσαι.
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.

III.—IN AMOREM.

Nocte aliquando intempestâ, cùm jam Urfa vertitur fub manum Bootæ, mortaliumque genus omne jacet labore domitum; tunc Amor fuperveniens, mea forium pultabat repagula. Quis, inquiebam, fores tundit? Difrumpes mihi *utique* fomnia. Aft Amor, "Aperi," inquit, "puerulus fum; "ne metuas: pluviâ verò madeo, et-illunem per noctem "erravi." Mifertus fum, hæc ut-audii; et ftatim, quum-

Ἐλέησα ταῦτ᾽ ἀκέσας·
Ἀνὰ δ᾽ εὐθὺ λύχνον ἅψας
Ἀνέῳξα· καὶ βρέφος μὲν
Ἐσορῶ, φέροντα τόξον,
Πτέρυγάς τε καὶ φαρέτρην.
Παρὰ δ᾽ ἱςίην καθίσας,
Παλάμαισι χεῖρας αὐτῦ
Ἀνέθαλπον· ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ᾽, ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον· ἐςί μοι νῦν,
Βλάβεται βραχεῖσα νευρή.
Τανύει δὲ, καί με τύπτει

---

accendifsem lucernam, aperui; et puerulum fanè afpicio, ferentem arcum, et alas et pharetram: ad focum itaque quum stetiffem, palmis *meis* manus ejus refovebam, et ex ejus cæfarie exprimebam humidam aquam. Ille autem, ubi frigus *fe* remiferat, "Age," inquit, "experiamur huncce ar-"cum, nunquid mihi jam lædatur madefactus nervus:" tendit itaque, et me ferit *in* medium jecur, tanquam afi-

Μέσον ἧπαρ, ὧσπερ οἶϛρος·
Ἀνὰ δ' ἄλλεται καχάζων,
Ξένε, δ' εἶπε, συγχάρηθι·
Κέρας ἀϐλαϐὲς μὲν ἐϛι,
Σὺ δὲ καρδίην πονήσεις.

---

lus. Exilitque cachinnans, "Hoſpes," et inquit, "congratu-
"lare: cornu *meum* illæſum quidem eſt, tu autem cor do-
"lebis."

Δ'.—ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας, θέλω προπίνειν.
Ὁ δ' Ἔρως, χιτῶνα δήσας
Ὑπὲρ αὐχενὸς παπύρῳ,
Μέθυ μοι διακονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα,
Βίοτος τρέχει κυλισθεὶς·
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν,
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,

IV.—DE SEIPSO.

Super myrtis tenellis, ſuper lotinis et herbis ſtratus, volo potare. Amor itaque, tunicam ligans ſuper cervice papyro, merum mihi adminiſtret. ota currûs enim velut, vita *noſtra* currit voluta; exiguuſque jacebimus cinis, oſſibus ſolutis. Quid te opus-eſt lapidem inungere? Quid et in-terram libare ſupervacua? Me potiùs, dum adhuc ſuperſum, unge,

Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην.
Πρὶν, Ἔρως, ἐκεῖ μ' ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

---

rosisque caput *meum* redimito, voca et *huc* amicam. Priusquam, ô Amor, illuc abîero ad inferorum choræas, dissipare volo curas.

5

Ε'.—ΕΙΣ ῬΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν ἐρώτων
Μίξωμεν Διονύσῳ.
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες.
Ῥόδον ὦ φέριστον ἄνθος,
Ῥόδον ἔαρος μέλημα.
Ῥόδα καὶ θεοῖσι τερπνά.
Ῥόδα παῖς ὁ τῆς Κυθήρης
Στέφεται καλοῖς ἰούλοις,
Χαρίτεσσι συγχορεύων.
Στέψον οὖν με, καὶ λυρίζω

V.—IN ROSAM.

Roſam, quæ *flos* amorum, miſceamus Baccho ; roſam illam pulchrè-foliatam témporibus aptantes, bibamus genialiter ridentes. Roſa, ô præſtantiſſime flos, roſa veris *præcipua* cura ; roſæ vel diis in-deliciis-ſunt. Roſas *etiam* puer ille Veneris redimitur pulchris capillis, Gratiis ſimul-

Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κέρης βαθυκόλπε,
Ῥοδίνοισι στεφανίσκοις
Πεπυκασμένος, χορεύσω.

ſaltans. Corona igitur me, et lyram-pulſabo: juxta tua Bacche, delubra cum puellâ profundi-ſinûs, roſeis corollis redimitus, ſaltabo.

ς'.—ΕΙΣ ΤΟ ΑΥΤΟ.

Στεφάνους μὲν κροτάφοισι
Ῥοδίνους συναρμόσαντες,
Μεθύομεν ἁβρὰ γελῶντες.
Ὑπὸ βαρβίτῳ δὲ κόρα
Κατὰ κισσοῖσι βρέμοντας
Πλοκάμοις φέρουσα θύρσους,
Χλιδανόσφυρος χορεύει.
Ἁβροχαίτας δ' ἅμα κοῦρος
Στομάτων ἁδὺ πνεόντων,
Κατὰ πηκτίδων ἀθύρων,
Προχέει λίγειαν ὀμφάν.
Ὁ δ' Ἔρως ὁ χρυσοχαίτας,

VI.—IN EANDEM.

Coronas quidem temporibus roſeas ſimul aptantes, genio indulgemus ſuaviter ridentes. Ad barbiton verò puella hederaceis plenos comis gerens thyrſos, delicatulis-malleolis ſaltat. Molli-cæſarieque ſimul puer, ore ſuave ſpiranti, ad panduram ludens fundit elegantem vocem. Ipſe demum

Μετὰ τοῦ καλοῦ Λυαίου
Καὶ τῆς καλῆς Κυθήρης,
Τὸν ἐπήρατον γεραιοῖς
Κῶμον μέτεισι χαίρων.

Amor auricomus, unà-cum pulchro Lyæo et pulchrâ Venere, pergratam ſenibus comeſſationem ingreditur lætus.

Ζ'.—ΕΙΣ ΕΡΩΤΑ.

Ὑακινθίνῃ με ῥάβδῳ
Χαλεπῶς Ἔρως βαδίζων
Ἐκέλευσε συντροχάζειν.
Διὰ δ' ὀξέων μ' ἀναύρων
Ξυλόχων τε καὶ φαράγγων
Τροχάοντα τεῖρεν ὕδρος.
Κραδίη δὲ ῥινὸς ἄχρις
Ἀνέβαινε, καν ἀπέσβην.
Ὁ δ' Ἔρως μέτωπα σείων
Ἁπαλοῖς πτεροῖσιν, εἶπεν,
Σὺ μὲν ȣ δύνῃ φιλῆσαι.

VII.—IN AMOREM.

Hyacinthinâ me virgâ difficulter Amor gradiens jussit *secum*-unà-cursitare: *ita* perque rapidos me torrentes, fruticetaque, et præcipitia, cursitantem transfixit coluber. Cor inde *mihi* nares adusque ascendit, et-tantùm non extinctus-sum. Amor itaque frontem *mihi* refrigerans mollibus alis, dixit, "Tu etenim non potes amare."

Η'.—ΕΙΣ ΤΟ ̔ΕΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Διὰ νυκτὸς ἐγκαθεύδων
Ἁλιπορφύροις τάπησι,
Γεγανυμένος Λυαίῳ,
Ἐδόκυν ἄκροισι τάρσοις
Δρόμον ὠκὺν ἐκτανύειν,
Μετὰ παρθένων ἀθύρων.
Ἐπεκέρτόμυν δὲ παῖδες
Ἁπαλώτεροι Λυαίυ,
Δακέθυμά μοι λέγοντες
Διὰ τὰς καλὰς ἐκείνας.
Ἐθέλοντα δὲ φιλῆσαι
Φύγον ἐξ ὕπνυ με πάντες.
Μεμονωμένος δ' ὁ τλήμων
Πάλιν ἤθελον καθεύδειν.

VIII.—IN SOMNIUM SUUM.

Per noctem indormiens purpureis tapetibus, lætificatus Lyæo, visus-sum summis pedum-palmulis cursum velocem intendere, cum virginibus lusitans: cavillabantur autem pueri teneriores Lyæo, scurrilia mihi dicentes, propter formosulas illas. Volentem deinde osculari fugerant è somno me omnes; solus-relictus itaque *ego* misellus rursum appetii dormire.

Θ΄.—ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέτασαι;
Πόθεν μύρων τοσέτων,
Ἐπ' ἠέρος θέεσα,
Πνέεις τε καὶ ψεκάζεις;
Τίς ἐςί σοὶ μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατεῦντα καὶ τύραννον.
Πέπρακέ με Κυθήρη
Λαβεσα μικρὸν ὕμνον.
Ἐγὼ δ' Ἀνακρέοντι

IX.—AD COLUMBAM.

O amabilis columbella, undenam, undenam volas? Unde *eſt*, *quòd* unguentorum tantorum, ſuper aëre feſtinans, redolesque et *pene* depluis? Quis eſt *herus* tibi? *Id* curæ-eſt enim *mihi*, *ut ſciam*. Anacreon me miſit ad amaſium, ad Bathyllum, illum dudum omnium *omnino* dominum atque imperatorem. Vendidit me *illi* Venus, quum-accepiſſet brevem

Διακονῶ τοσαῦτα.
Καὶ νῦν οἵας ἐκείνȣ
Ἐπιςολὰς κομίζω.
Καί φησιν εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δὲ, κἢν ἀφῇ με,
Δȣ́λη μενῶ παρ᾽ αὐτῷ.
Τί γάρ με δεῖ πέτασθαι
Ὄρη τε καὶ κατ᾽ ἀγρȣ̀ς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγȣ̃σαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτȣ̃.

---

hymnum *ab eo*: ego exinde Anacreonti ut-famula-ago res-hujuſcemodi: et nunc quales ejuſdem epiſtolas defero: et *is* ait, propediem me liberam *ſe* facturum. Ego verò, etiamſi dimiſerit me, ſerva *nihilominus* manebo apud eum: quid enim mihi opus-eſt volare *per* montes et per agros, et arboribus inſidere, edenti *neſcio* quid ruſticum? nunc comedo quidem panem, ſubripiens manibus Anacreontis ipſius:

Πιᾶν δέ μοι δίδωσι
Τὸν οἶνον, ὃν προπίνει.
Πιοῦσα δ᾽ ἂν χορεύσω,
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συγκαλύψω.
Κοιμωμένη δ᾽ ἐπ᾽ αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ᾽, ἄπελθε·
Λαλιστέραν μ᾽ ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

---

bibendumque mihi præbet vinum ipſum, quod præbiberat. Ut-biberim verò, forſan ſaltabo, et herum meis alis contexam; conſopita autem ſuper ipſo barbito dormio. Habes omnia; abeas: loquaciorem me feciſti, ô homo, vel *ipsâ* cornice.

Γ'.—ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
Νεηνίης ἐπώλει·
Ἐγὼ δέ οἱ παραστὰς,
Πόσȣ θέλεις, ἔφην, σοι
Τὸ τευχθὲν ἐκπρίωμαι.
Ὁ δ' εἶπε δωριάζων,
Λάϐ' αὐτὸν, ὁππόσȣ λῇς.
Ὅμως δ' ἂν ἐκμάθῃς πᾶν,
Οὐκ εἰμὶ κηροτέχνης·
Ἀλλ' οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτῃ.
Δὸς ȣ̓̃ν, δὸς αὐτὸν ἡμῖν

X.—IN CEREUM CUPIDINEM.

Cupidinem cereum quidam adolefcens venundedit; egoque illi juxta-ftans, Quanti vis, inquiebam, tibi hanc imagunculam emam? Illeque dixit, Doricè-loquens, Cape illum, quanti vis, *i. e. tuo pretio:* veruntamen, ut addifcas remtotam, non *ego* fum cerearum-imaginum-effictor: fed nolo unà-habitare cum Cupidine, qui-omnia-appetit. Da igitur,

Δραχμῆς καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
Πύρωσον· εἰ δὲ μὴ, σὺ
Κατὰ φλογὸς τακήσῃ.

---

inquio, da illum nobis, pro-*hac* drachmâ, lepidum contubernalem. Tu, ô Cupido, autem propediem me incendas: fin verò, tu-ipfe in flammâ colliquefies.

ΙΑʹ.—ΕΙΣ ἙΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ·
Λαβὼν ἔσοπτρον, ἄθρει
Κόμας μὲν οὐκ ἔτ᾽ οὔσας,
Ψιλὸν δέ σευ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ᾽ εἰσὶν, εἴτ᾽ ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ᾽ οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὰ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ μοίρης.

XI.—DE SEIPSO.

Dicunt *mihi* fœminæ, ô Anacreon, fenex es: accepto fpeculo, contemplare comas quidem non ampliùs exiftentes, glabramque tuam frontem. Ego fanè, *quod-ad*-comas-*attinet* quidem, utrùm fint, an abierint, haud novi; hoc autem novi, quòd feni *tanto* magis convenit jucundè ludere, quanto propior *ei* mors *sit*.

ΙΒ'.—ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι, θέλεις, ποιήσω,
Τί, σοι, λάλη χελιδών;
Τὰ ταρσά σευ τὰ κῦφα
Θέλεις, λαβὼν ψαλίξω;
Ἢ μᾶλλον ἔνδοθέν σευ
Τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
Ἐκεῖνος, ἐκθερίξω;
Τί μευ καλῶν ὀνείρων,
Ὑπορθρίαισι φωναῖς,
Ἀφήρπασας Βάθυλλον;

XII.—IN HIRUNDINEM.

Quid tibi vis, faciam, quid tibi, o garrula hirundo? Alasne tuas illas celeres, vis, *ut* prehendens forfice abscindam? An potius interiorem tuam illam linguam, sicut Tereus ille, prorsus demetam? Quid ex meis gratis somniis, matutinis *tuis* modulis, abripuisti Bathyllum?

ΙΓʹ.—ΕΙΣ ἙΑΥΤΟΝ.

Οἱ μὲν, καλὴν Κυϐήϐην
Τὸν ἡμίθηλυν Ἄττιν
Ἐν ὄρεσιν βοῶντα,
Λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ, Κλάρου παρ' ὄχθαις
Δαφνηφόροιο Φοίϐου
Λάλον πιόντες ὕδωρ,
Μεμηνότες βοῶσιν.
Ἐγὼ δὲ τοῦ Λυαίου,
Καὶ τοῦ μύρου κορεσθεὶς,
Καὶ της ἐμῆς ἑταίρης,
Θέλω, θέλω μανῆναι.

XIII.—DE SEIPSO.

Hi quidem, almam Cybelen femimarem Attin in montibus clamantem dicunt in-furorem-actum: illi vero, Clari ad ripas laurigeri Phœbi, fatidicam cum-biberint aquam, furore-perculsi clamant. Ego verò, Lyæo, et unguento faturatus, et meâ *quoque* amicâ, volo, volo, *inquam*, furere.

ΙΔ'.—ΕΙΣ ΕΡΩΤΑ.

Θέλω, θέλω φιλῆσαι·
Ἔπειθ' Ἔρως φιλεῖν με·
Ἐγὼ δὲ ἔχων νόημα
Ἄβουλον, οὐκ ἐπείσθην.
Ὁ δ' εὐθὺ τόξον ἄρας
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοέην,
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ', ἐγὼ δ' ἔφευγον,
Ὡς δ' οὐκ ἔτ' εἶχ' οἰστοὺς,

XIV.—IN CUPIDINEM.

Volo, volo *nunc tandem* amare:—suasit *olim* Cupido amare me; ego autem habens animum improvidum, minimè persuasus sum. Ille autem protinus arcum tollens atque auream pharetram, pugnâ me provocabat; atque ego sumens super humeris thoraca, velut *alter* Achilles, et hastas et scutum, concertabam cum Cupidine. Jaciebat; egoque fugiebam:

Ἤσχαλλεν· εἶθ᾽ ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον.
Μέσος δὲ καρδίης μευ
Ἔδυνε, καί μ᾽ ἔλυσε.
Μάτην δ᾽ ἔχω βοείην·
Τί γὰρ βαλώμεθ᾽ ἔξω,
Μάχης ἔσω μ᾽ ἐχούσης;

---

ut verò non amplius habuit tela, ægrè-tulit, deinde feipfum projecit in modum teli: mediufque-cordis mei penetravit, et me folvit. Fruftra itaque habeo fcutum: quid enim muniamur extra, bello intus me exercente?

ΙΕ'.—ΕΙΣ ΈΑΥΤΟΝ.

Οὔ μοι μέλει Γύγαο,
Τȣ̃ Σαρδέων ἄνακτος·
Οὔθ' αἱρέει με χρυσὸς,
Οὐδὲ φθονῶ τυράννοις.
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην·
Ἐμοὶ μέλει ῥόδοισι
Καταϛέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;
Ὡς ȣ̃ν ἔτ' εὐδί' ἐϛὶ,
Καὶ πῖνε, καὶ κύβευε,
Καὶ σπένδε τῷ Λυαίῳ·
Μὴ νȣ̃σος, ἤν τις ἔλθῃ,
Λέγῃ, σὲ μὴ δεῖ πίνειν.

XV.—DE SEIPSO.

Non mihi curæ-ſunt *opes* Gygæ, illius Sardium regis; neque expugnat me aurum, nec invideo tyrannis. Mihi curæ-eſt unguentis perfundere barbam, mihi curæ-eſt roſis coronare verticem: quod hodie *eſt*, curæ-eſt mihi; quod verò cras *erit*, quis novit? Donec igitur adhuc ſereni ſunt *dies*, et bibe et aleis-lude, et libato Lyæo: ne morbus, ſi quis venerit, dicat, te non opus-eſt bibere.

Ιϛʹ.—ΕΙΣ ἙΑΥΤΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήϐης,
Ὁ δ᾽ αὖ Φρυγῶν ἀϋτὰς,
Ἐγὼ δ᾽ ἐμὰς ἁλώσεις.
Οὐχ ἵππος ὤλεσέν με,
Οὐ πεζὸς, ȣ̓χὶ νῆες·
Στρατὸς δὲ καινὸς ἄλλος
Ἀπ᾽ ὀμμάτων βαλών με.

XVI.—DE SEIPSO.

Tu quidem pangis Thebaica, ille autem Phrygum pugnas: ego verò meas expugnationes. Non equus perdidit me; non pedeſtris-*exercitus*, nec naves: at exercitus inuſitatus alius-generis ab ocellis *dominæ* petens me.

ΙΚʹ.—ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιςέ, μοι ποιήσον,
Πανοπλίαν μὲν ἐχί.
Τί γὰρ μάχαισι κἀμοί;
Ποτήριον δὲ κοῖλον·
Ὅσον δύνῃ, βάθυνον.
Ποίει δέ μοι κατ' αὐτὸ,
Μήτ' ἄςρα, μήθ' ἁμάξας,
Μὴ ςυγνὸν Ὠρίωνα.
Τί Πλειάδεσσι κἀμοὶ;
Τί δ' ἄςρασιν Βοώτεω;
Ποίησον ἀμπέλες μοι,

XVII.—IN POCULUM ARGENTEUM.

Argentum illud cælans, Vulcane, mihi fac, armaturam-omnem quidem nullo-modo: quid enim pugnis et-mihi? poculum verò cavum, quantum potes, profundum-facito. Fac et mihi super illud, neque astra, neque plaustra-*cælestia*, neque invisum Oriona: quid Pleiadibus et-mihi? Quid item astris Bootæ? Facito vites mihi, atque racemos super

Καὶ βότρυας κατ' αὐτὸ,
Καὶ χρυσέες πατεῦντας.
Ὁμε̃ καλῷ Λυαίῳ,
Ἔρωτα καὶ Βάθυλλον.

ΙΗ'.—ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καλὴ τέχνα, τόρευσον
Ἔαρος κύπελλον ἡδὺ,
Τὰ πρῶτα τερπνὰ ἡμῖν
Ῥόδα φέρεσαν ὥρην.
Ἀργύριον δ' ἁπλώσας,
Ποτὸν ποίει μοι τερπνόν.
Τῶν τελετῶν, παραινῶ,
Μή μοι ξένον τορεύσῃς,

---

illud, et aureos calcantes, unà cum pulchro Lyæo, Cupidinem atque Bathyllum.

XVIII.—IN IDEM.

O pulchra ars, *mihi* cælato veris poculum ſuave: imprimis *illud ipſum* dulcem nobis roſam ferens tempus: argentumque unico-argumento-ornans poculum facito mihi jucundum. Ceremoniarum, hortor, ne mihi exoticum *quid* cæles, nec

Μὴ φευκτὸν ἰσόρημα.
Μᾶλλον ποίει Διὸς γόνον
Βάκχον εὔϊον ἡμῖν.
Μύϛις νάματος ἡ Κύπρις
Ὑμεναίοις κροτῦσα.
Χάρασσ' Ἔρωτας ἀνόπλες,
Καὶ Χαρίτας γελώσας
Ὑπ' ἄμπελον εὐπέταλον,
Εὐβότρυον, κομῶσαν.
Σύναπτε κῦρυς εὐπρεπεῖς,
Ἂν μὴ Φοῖβος ἀθύρῃ.

---

execrandum argumentum; potius fac Jovis prolem, Bacchum, Euïum nobis. Sacerdos fluenti Venus nuptiis faltans. Sculpe Cupidines inermes, et Gratias ridentes sub vite luxurianti, racemosâ, comanti: conjunge pueros decentes; modò ne Phœbus *et ipse* lusitârit.

ΘΙ'.—ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.

Ἡ γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε' αὐτὴν·
Πίνει θάλασσα δ' αὔρας,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη.
Τί μοι μάχεσθ', ἑταῖροι,
Κ' αὐτῷ θέλοντι πίνειν;

Κ'.—ΕΙΣ ΚΟΡΗΝ.

Ἡ Ταντάλȣ πότ' ἔςη
Λίθος Φρυγῶν ἐν ὄχθαις·
Καὶ παῖς ποτ' ὄρνις ἔπτη

XIX.—QUOD OPORTEAT BIBERE.

Hæc terra nigra bibit, bibuntque arbores ipſam: bibit æquor et auras, ſolque æquor, ſolemque luna. Quid mihi contenditis, amici, et-ipſi volenti bibere?

XX.—AD PUELLAM.

Filia Tantali olim ſtetit lapis Phrygum in ripis: et filia olim *ut* avis volavit Pandionis, hirundo *viz.* Aſt ego

Πανδιόνος χελιδών.
Ἐγὼ δ' ἔσοπτρον εἴην,
Ὅπως ἀεὶ βλέπῃς με.
Ἐγὼ χιτὼν γενοίμην,
Ὅπως ἀεὶ φορῇς με.
Ὕδωρ θέλω γενέσθαι,
Ὅπως σὲ χρῶτα λούσω.
Μύρον, γύναι, γενοίμην,
Ὅπως ἐγώ σ' ἀλείφω.
Καὶ ταινίη δὲ μαστῶν,
Καὶ μάργαρον τραχήλῳ.
Καὶ σάνδαλον γενοίμην,
Μόνον ποσὶν πατεῖν με.

ſpeculum fiem, ut ſemper inſpectes me; ego *vel* tunica fiam, ut ſemper geſtes me: aqua volo fieri, ut tibi cutim lavem: unguentum, o fœmina, fiam; ut ego te ungam; et ſtrophium quoque mamillarum, et unio collo *tuo*, etiam ſolea fieri velim: tantum *ut*, pedibus *poſſis* conculcare me.

ΚΑ'.—ΕΙΣ ἙΑΥΤΟΝ.

Δότε μοι, δότ', ὦ γυναῖκες,
Βρομίε πιεῖν ἀμυστί·
Ὑπὸ καύματος γὰρ ἤδη
Προποθεὶς ἀναστενάζω.
Δότε δ' ἀνθέων ἐκείνε,
Στεφάνες δ', οἵες πυκάζω,
Τὰ μέτωπα με 'πικαίει·
Τὸ δὲ καῦμα τῶν ἐρώτων
Κραδίῃ τινὶ σκεπάζω.

ΚΒ'.—ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Παρὰ τὴν σκιὴν, Βάθυλλε,
Κάθισον· καλὸν τὸ δένδρον,
Ἁπαλὰς σέει δὲ χαίτας

XXI.—DE SEIPSO.

Date mihi, date, o mulieres, de-Baccho, bibere pleno-haustu, ab æstu etenim dudum prius-epotus (i. e. exiccatus) graviter suspiro: date etiam de-floribus istius; corollas enim, quas gero, frons mea exurit: hunc verò æstum amorum in corculo, quâ re inumbrem.

XXII.—AD BATHYLLUM.

Ad hanc umbram, ô Băthylle, sedeto: decora *est* hæc arbor, teneras quassatque comas mollissimo ramulo: juxtaque

Μαλακωτάτῳ κλαδίσκῳ·
Παρὰ δ' αὐτῷ ἐρεθίζει
Πηγὴ ῥέουσα πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
Καταγώγιον τοιοῦτον;

ΚΓ'.—ΕΙΣ ΧΡΥΣΟΝ.

Ὁ Πλοῦτος εἴγε χρυσοῦ
Τὸ ζῆν παρῆγε θνητοῖς,
Ἐκαρτέρουν φυλάττων·
Ἵν', ἂν θανὼν ἐπέλθῃ,
Λάβῃ τι, καὶ παρέλθῃ.
Εἰ δ' οὐδὲ τὸ πρίασθαι
Τὸ ζῆν ἔνεστι θνητοῖς,

---

illam murmure-blanditur fonticulus fluens *ipsâ* Suadâ. Quis itaque *sciens ac* videns præterierit diverticulum hujusmodi?

XXIII.—IN AURUM.

Copia siquidem auri vitam produceret mortalibus, industriâ-uterer *accumulans et* custodiens; ut, quando mors superveniret, acciperet aliquid, et abiret *aliò*. Sin autem neque

Τί καὶ μάτην ϛενάζω;
Τί καὶ γόους προπέμπω;
Θανεῖν γὰρ εἰ πέπρωται,
Τί χρυσὸς ὠφελεῖ με;
Ἐμοὶ γένοιτο πίνειν,
Πιόντι δ' οἶνον ἡδὺν,
Ἐμοῖς φίλοις συνεῖναι,
Ἐν δ' ἁπαλαῖσι κοίταις
Τελεῖν τὰν Ἀφροδίταν.

---

redimere vitam licet mortalibus, quid et frustra gemo? Quid et lamenta præmitto? Mori enim si decretum est, quid aurum prodest mihi? mihi contingat bibere; dum biberimque vinum dulce, cum meis amicis conversari; inque mollibus cubilibus fovere amasiam.

ΚΔ΄.—ΕΙΣ ʽΕΑΥΤΟΝ.

Ἐπειδὴ βροτὸς ἐτέχθην,
Βιότε τρίβον ὁδεύειν,
Χρόνον ἔγνων, ὃν παρῆλθον,
Ὃν δ᾽ ἔχω δραμεῖν ἐκ οἶδα.
Μέθετέ με, φροντίδες·
Μηδέν μοι καὶ ὑμῖν ἔςω.
Πρὶν ἐμὲ φθάση τὸ τέλος,
Παίξω, γελάσω, χορεύσω,
Μετὰ τε̃ καλε̃ Λυαίε.

XXIV.—De SEIPSO.

Quandoquidem mortalis ſum-natus, vitæ *per* ſemitam iter-facere, tempus novi, quod præteritum; quod verò habeo decurrere, haud novi. Mitte *igitur* me, curæ-gra es; nihil mihi et vobis eſto: priuſquam me prævenerit mors, ludam, ridebo, ſaltabo unâ-cum formoſo Lyæo.

ΚΕ΄.—ΕΙΣ ἙΑΥΤΟΝ.

Ὅταν πίνω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι.
Τί μοι, τί μοι γόων,
Τί μοι μέλει μεριμνῶν;
Θανεῖν με δεῖ, κἂν μὴ θέλω.
Τί δὲ τὸν βίον πλανῶμαι;
Πίωμεν οὖν τὸν οἶνον,
Τὸν τοῦ καλοῦ Λυαίου.
Σὺν τῷ δὲ πίνειν ἡμᾶς,
Εὕδουσιν αἱ μέριμναι.

XXV.—IN SEIPSUM.

Quando *ego* bibam vinum, sopiuntur curæ: quid mihi quid mihi luctuum, quid mihi curæ-est solicitudinum? Mori me necesse-est, vel-quamvis nequaquam velim Quid itaque vitam errare-facio? Bibamus ergo vinum *donum* illud formosi Lyæi; cum enim bibere nostro, sopiuntur curæ *nostræ*.

ΚϚ′.—ΕΙΣ ἙΑΥΤΟΝ.

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,
Εὕδουσιν αἱ μέριμναι·
Δοκῶν δ' ἔχειν τὰ Κροίσου,
Θέλω καλῶς ἀείδειν.
Κισσοστεφὴς δὲ κεῖμαι,
Πατῶ δ' ἅπαντα θυμῷ.
Ὅπλιζ', ἐγὼ δὲ πίνω.
Φέρε μοι κύπελλον, ὦ παῖ·
Μεθύοντα γάρ με κεῖσθαι
Πολὺ κρεῖσσον, ἢ θανόντα.

XXVI.—IN SEIPSUM.

Quando *in me* Bacchus penetraverit, ſopiuntur curæ : fingenſque *me* habere opes Crœſi volo ſuaviter cantillare ; hederâ-coronatusque diſcumbo, conculcoque univerſa animo. Miniſterio-accinge ; ego etenim bibo.—Præbe mihi poculum, ô puer ; potum enim me jacere multo ſatius, quàm mortuum.

ΚΖʹ.—ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Τȣ̃ Διὸς ὁ παῖς ὁ Βάκχος,
Ὁ λυσίφρων, ὁ Λυαῖος,
Ὅταν εἰς φρένας τὰς ἐμὰς
Εἰσέλθῃ μεθυδότας,
Διδάσκει με χορεύειν.
Ἔχω δὲ καί τι τερπνὸν
Ὁ τὰς μέθας ἐραςὰς,
Μετὰ κρότων, μετ' ᾠδαῖς.
Τέρπει μὲ κ' Ἀφροδίτα,
Καὶ πάλιν θέλω χορεύειν.

XXVII.—IN DIONYSUM.

Jovis puer ille Bacchus, ille laxator-animorum, Lyæus, quando in præcordia mea intrârit vini dator, docet me saltare. Potiorque aliquid delicatulum ille *ego* ebrietatis amator, unà-cum crepitaculis, unà-cum cantilenis: delectat me etiam Venus; et iterum volo saltare.

ΚΗ΄.—ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΕΤΑΙΡΑΝ.

Αγε, ζωγράφων ἄριϛε,
Γράφε, ζωγράφων ἄριϛε,
Ῥοδέης κοίρανε τέχνης,
Ἀπέȣσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τὸ πρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·
Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρȣ πνεȣσας.
Γράφε δ' ἐξ ὅλης παρειῆς
Ὑπὸ πορφύραισι χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι

XXVIII.—DE AMICA SUA.

Age, pictorum optime, pinge, pictorum optime, Rhodiæ magister artis, absentem *licet*, ut *ego* tamen direxero, pinge meam amicam. Pinge *itaque* mihi comas imprimis mollicu-lasque et nigricantes: quòd cera si *et id* assequi-possit, pin-ge etiam *illas* unguentum spirantes. Pinge quoque ex plenâ *aliquâ* genâ, sub violaceis capillis, eburneam frontem. In-

Διάκοπτε, μήτε μίσγε.
Ἐχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυν
Βλεφάρων ἴτυν κελαίνην.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ τȣ̃ πυρὸς ποίησον·
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης·
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἷα Πειθȣ̃ς,
Προκαλȣ́μενον φίλημα.
Τρυφερȣ̃ δ' ἔσω γενείȣ
Περὶ Λυγδίνῳ τραχήλῳ

---

tercilium verò ne *tu* mihi difcindas, neque planè-mifceas; habeat autem *pictura*, ficut *et* illa, haud difcernibiliter coëuntia-cilia: *et* palpebrarum circuitionem nigram. Afpectum deinde *oculorum* nunc, *ut* revera *habet*, ex igni facito, fimul *nempe* cæfium, ut Minervæ, fimulque lubricum, ut Veneris. Pinge nafum atque genas, rofas lacte commifcens; pinge labium, veluti Suadelæ, provocans fuaviolum. Delicatulumque infra mentum, circum Lygdinum *et candens*

Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τολοιπὸν αὐτὴν
Ὑποπορφύροισι πέπλοις.
Διαφαινέτω δὲ σαρκῶν
Ὀλίγον, τὸ σῶμ' ἔλεγχον.
Ἀπέχει· βλέπω γὰρ αὐτήν.
Τάχα, κηρὲ καὶ λαλήσεις.

---

collum, Gratiæ volitent universæ. Vestito, quod-restat, illam subpurpurascentibus indumentis: transluceatque carnium aliquota-pars, *totum* corpus, *quale sit*, ostendens. Satis-est: video enim *jam illam* ipsam: fortasse, ô Cera, et loqueris *statim*.

ΚΘʹ.—ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον ὅτω
Τὸν ἑταῖρον, ὡς διδάσκω.
Λιπαρὰς κόμας ποίησον,
Τὰ μὲν ἔνδοθεν, μελαίνας,
Τὰ δ' ἐς ἄκρον, ἡλιώσας.
Ἕλικας δ' ἐλευθέρους μοι,
Πλοκάμων ἄτακτα συνθεὶς,
Ἀφὲς, ὡς θέλουσι, κεῖσθαι.
Ἁπαλὸν δὲ καὶ δροσῶδες
Στεφέτω μέτωπον ὀφρῦς
Κυανωτέρη δρακόντων.
Μέλαν ὄμμα γοργὸν ἔστω,
Κεκερασμένον γαλήνῃ.

XXIX.—DE BATHYLLO.

Pinge mihi Bathyllum ita, amicum *illum meum*, ut ego doceo. Nitidas comas facito, interiùs quidem nigricantes, exteriùs autem rutilantes: cincinnuloſque liberos mihi capillorum, incompoſitè componens, permitte, ut velint, jacere. Teneram inde et roſcidam arcuet frontem ſupercilium magis-cæruleum draconum *oculis*. Nigricans oculus acer eſto,

Τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
Τὸ δὲ τῆς καλῆς Κυθήρης·
Ἵνα τὶς τὸ μὲν φοβῆται,
Τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται.
Ῥοδινὴν δ', ὁποῖα μῆλον,
Χνοΐην ποίει παρειήν.
Ἐρύθημα δ' ὡς ἂν αἰδοῦς
Δύνασαι βαλεῖν, ποίησον.
Τὸ δὲ χεῖλος, οὐκ ἔτ' οἶδα,
Τίνι μοι τρόπῳ ποιήσεις·
Ἁπαλὸν, γέμον τε πειθοῦς.
Τὸ δὲ πᾶν, ὁ κηρὸς αὐτὸς
Ἐχέτω λαλῶν σιωπῇ.
Μέτα δὲ πρόσωπον ἔσω,

---

mixtus *tamen* tranquillitate; illud nempe à Marte trahens, hoc verò à formofâ Venere: ut aliquis illud quidem metuat, *ob* hocque ex fpe pendeat. Roseam quoque, veluti pomum, lanuginofam facito genam; ruboremque, quantum verecundiæ potes adjicere, facias. Labium equidem nondum fcio, quâ mihi ratione facies; mollicellum, plenumque Suadâ: per-totum-denique *vultum* cera ipsa *fe* habeat, *tanquam* loquens filenter. Et poft vultum efto, quod etiam *illud* Ado-

Τὸ δ' Ἀδώνιδος παρῆλθον,
Ἐλεφάντινος τράχηλος.
Μεταμάζιον δὲ ποίει,
Διδύμας τε χεῖρας Ἑρμῦ,
Πολυδεύκεος δὲ μηρὺς,
Διονυσίην δὲ νηδύν.
Ἁπαλῶν δ' ὕπερθε μηρῶν,
Μηρῶν τὸ πῦρ ἐχόντων,
Ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλυσαν ἤδη.
Φθονερὴν ἔχεις δὲ τέχνην,
Ὅτι μὴ τὰ νῶτα δεῖξαι
Δύνασαι· τὰ δ' ἦν ἀμείνω.
Τί με δεῖ πόδας διδάσκειν;
Λάβε μισθὸν, ὅσσον εἴπῃς.

---

nidis fuperet, eburneum collum. Thoracem deinde facito geminafque manus Mercurii; Pollucifque femora, Bacchicumque ventrem: tenera inde fuper femora, femora *illa* incentivum quid habentia, innocens facito pudendum, Venerem appetens primulùm. Invidam nactus-es autem artem; quòd non *etiam* terga oftendere valeas: hæc utique effent meliora. Quid me opus eft pedes defcribere? Accipe mer-

Τὸν Ἀπόλλωνα δὲ τȣ̃τον
Καθελὼν, ποίει Βάθυλλον.
Ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
Γράφε Φοῖβον ἐκ Βαθύλλȣ.

Λ'—ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μȣ̃σαι τὸν Ἔρωτα
Δήσασαι ςεφάνοισι
Τῷ Κάλλει παρέδωκαν.
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ, λύτρα φέρȣσα,
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μενεῖ δέ·
Δȣλεύειν δεδίδακται.

---

cedem, quantum flagites. Apollinem autem huncce detrahens, *illius vice* fac Bathyllum: fin ad Samum unquam veneris, pinge Phœbum ex Bathyllo.

XXX—IN CUPIDINEM.

Mufæ Cupidinem *aliquando*, quum vincirent corollis, Pulchritudini tradiderunt: et nunc Venus quærit, redemptionis-pretium ferens, liberare Cupidinem. Etiamfi liberet autem aliquis eum, non egreditur, manebit verò: fervire *nempe* didicit.

ΛΑ'.—ΕΙΣ ΕΑΥΤΟΝ.

Ἀφές με, τὲς θεὲς, σοι
Πιεῖν, πιεῖν ἀμυςί.
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χ' ὁ λευκόπες Ὀρέςης,
Τὰς μητέρας κτανόντες.
Ἐγὼ δὲ μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον.
Ἐμαίνετο πρὶν Αἴας,

XXXI.—In SEIPSUM.

Sine me, deos *interpono* tibi, bibere, bibere plenis-poculis: volo *enim*, volo insanire. Insaniebat Alcmæonque, et candidis-cothurnis Orestes, matres suas quum-occidissent; ego verò, nemine occiso, epoto tantùm rubro vino, volo, volo, *inquam*, insanire. Insaniebat Hercules olim, gravem concutiens pharetram, atque arcum Iphitcum: insaniebat olim

Μέτ' ἀσπίδος κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν.
Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

Ajax, unà-cum clypeo vibrans illum Hectoris ensem. Ego verò tenens poculum, et coronam hanc capillis, non arcum, non ensem, volo, volo insanire.

ΛΒʹ.—ΕΙΣ ΤΟΥΣ ʽΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Εἰ φύλλα πάντα δένδρων
Ἐπίϛασαι κατειπεῖν,
Εἰ ἠμαθῶδες εὑρεῖν
Τὸ τῆς ὅλης θαλάσσης,
Σὲ τῶν ἐμῶν ἐμῶν ἐρώτων
Μόνον ποιῶ λογιϛήν.
Πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς,
Καὶ πεντεκαίδεκ' ἄλλȣς·
Ἔπειτα δ' ἐκ Κορίνθȣ
Θὲς ὁρμαθȣ̀ς ἐρώτων·
Ἀχαΐης γάρ ἐϛιν,
Ὅπȣ καλαὶ γυναῖκες.

XXXII.—DE SUIS AMORIBUS.

Si folia omnia arborum novisti recensere; si arenulas reperire totius maris, *tum* te meorum amorum unicum facio calculatorem. Primum quidem ex Athenis amores viginti pone, et quindecim *præterea* alios: deinde ex Corintho pone integras catenas amorum; Achaiæ etenim est *metropolis*, ubi formosæ mulieres. Pone item Lesbios

Τίθει δὲ Λεσβίȣς μοι,
Καὶ μέχρι τῶν Ἰώνων,
Καὶ Καρίης, Ῥόδȣ τε
Δισχιλίȣς ἔρωτας.
Τί φῄς; ἀεὶ κηρωθεὶς.
Οὔπω Σύρȣς ἔλεξα,
Οὔπω πόθȣς Κανώβȣ,
Οὐ τῆς ἅπαντ' ἐχέσης
Κρήτης, ὅπȣ πόλεσσιν
Ἔρως ἐποργιάζει.
Τί σοι θέλεις ἀριθμεῖν
Τȣ̀ς ἐκτὸς αὖ Γαδείρων,
Τῶν Βακτρίων τε κ' Ἰνδῶν,
Ψυχῆς ἐμῆς ἔρωτας;

---

mihi, et usque-ad Ionas, et Cariam, Rhodumque, bis-mille amores. Quid ais? *tabellâ* semper *latiùs* ceratâ. Nondum Syros dixi, nondum amores Canopi, non, omnia in-se-habentis, Cretæ, ubi per *centum* urbes Amor sua-mysteria celebrat. Quid tibi *me* vis numerare eos *qui sunt* extra porrò Gades, Bactriosque et Indos, animæ meæ amores?

ΛΓ'.—ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν, φίλη χελιδὼν,
Ἐτησίη μολῦσα,
Θέρει πλέκεις καλιὴν·
Χειμῶνι δ' εἶς ἄφαντος,
Ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίη καλιήν.
Πόθος δ' ὁ μὲν πτερῦται,
Ὁ δ' ᾠόν ἐςιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη.
Βοὴ δὲ γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.
Ἐρωτιδεῖς δὲ μικρὲς
Οἱ μέζονες τρέφεσιν.

XXXIII.—AD HIRUNDINEM.

Tu quidem, chara hirundo, quotannis *huc* profecta, æſtate conſtruis nidum; hiemeque es evanida, vel *ad* Nilum, vel ad Memphin: Amor vero ſemper ſtruit meo in pectore nidum: amorculuſque hic quidem alis-augetur; hic autem ovum eſt adhuc, alter ſemi-excluſus jam; clamorque fit ſemper cibo-inhiantium pullorum-amorum. Amorculos vero parvu-

Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;
Οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐξσοβῆσαι.

ΛΔʹ.—ΕΙΣ ΚΟΡΗΝ.

Μή με φύγῃς, ὁρῶσα
Τὰν πολιὰν ἔθειραν.
Μηδ᾽ ὅτι σοι πάρεστιν
Ἄνθος ἀκμαῖον ὥρας,
Τἀμὰ φίλτρα διώξῃς.
Ὅρα, κἂν στεφάνοισιν
Ὅπως πρέπει τὰ λευκὰ
Ῥόδοις κρίνα πλακέντα.

---

los majores educant: hique cùm-alti-ſint ſtatim rurſus pariunt alios. Quodnam remedium ergo fiat? non enim valeo tam-multos amores effari.

XXXIV.—AD PUELLAM.

Ne me fugias, videns hanc canam cæſariem: neque *ideo*, quòd tibi adſit flos vigens juventæ, meam amicitiam rejicias. Vide etiam-in-corollis, quomodo decora-ſint candida roſis lilia intexta.

ΛΕ'.—ΕΙΣ ΤΗΝ ΕΥΡΩΠΗΝ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι·
Φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα.
Περᾷ δὲ πόντον εὐρὺν,
Τέμνει δὲ κῦμα χηλαῖς.
Οὐκ ἂν δὲ ταῦρος ἄλλος
Ἐξ ἀγέλης ἐλασθεὶς
Ἔπλευσε τὴν θάλασσαν,
Εἰ μὴ μόνος γ' ἐκεῖνος.

XXXV.—DE EUROPA.

Taurus hicce, ô puer, Jupiter mihi videtur aliquis esse; gerit enim in tergo Sidoniam fœminam; trajicitque pontum latum, dividitque undam ungulis. Haud verò sanè taurus alius, ex armento abactus, navigârit æquor; nisi unus utique ille.

Λϛʹ. – ΕΙΣ ΤΟ ΑΝΕΙΜΕΝΩΣ ΖΗΝ.

Τί με τὲς νόμες διδάσκεις,
Καὶ ῥητόρων ἀνάγκας;
Τί δέ μοι λόγων τοσέτων
Τῶν μηδὲν ὠφελέντων;
Μᾶλλον δίδασκε πίνειν
Ἁπαλὸν πόμα Λυαίε·
Μᾶλλον δίδασκε παίζειν.
Μετὰ χρυσῆς Ἀφροδίτης.
Πολιαὶ ϛέφεσι κάραν.
Δὸς ὕδωρ, βάλ' οἶνον, ὦ παῖ.
Τὴν ψυχήν με κάρωσον.
Βραχὺ μὴ ζῶντα καλύπτεις·
Ὁ θανὼν ἐκ ἐπιθυμεῖ.

XXXVI.—QUOD LIBERE SIT VIVENDUM.

Quid me jura doces, et oratorum argumenta? Quidque mihi *emolumenti* ex disputationibus tam multis, nihil juvantibus? Potius doceas *me* bibere mitem potum Lyæi: potius doceas *me* lusitare cum aureâ Venere. Cani coronant caput: da *mihi* aquam, infunde vinum, ô puer, animam*que* mihi sopias; brevi nec viventem condes: mortuus non *ullum* appetit.

ΛΖʹ.—ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε, πῶς ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν·
Ἴδε, πῶς κῦμα θαλάσσης
Ἁπαλύνεται γαλήνῃ.
Ἴδε, πῶς νῆσσα κολυμβᾷ.
Ἴδε, πῶς γέρανος ὁδεύει·
Ἀφελῶς δ' ἔλαμψε Τιτάν.
Νεφελῶν σκιαὶ δονοῦνται,
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·
Καρποῖσι γαῖα προκύπτει,
Καρπὸς ἐλαίας προκύπτει.
Βρομίου στέφεται νᾶμα.
Κατὰ φύλλον, κατὰ κλῶνα,
Καθελὼν ἤνθησε καρπός.

XXXVII.—DE VERE.

Afpice, ut vere apparente, Gratiæ rofas emittant: afpice, ut fluctus æquoris molliatur ferenitate: afpice, ut anas aquas fubeat: afpice, ut grus migret: apertèque fplendefcat fol. Nubium umbræ difpelluntur; hominumque nitent labores: fructibus tellus erumpit, fructus olivæ germinat. Bacchi coronam-*fuam*-accipit latex. Folium, furculum, deprimens, floruit fructus.

ΛΗ'.—ΕΙΣ ἙΑΥΤΟΝ.

Ἐγὼ γέρων μὲν εἰμι,
Νέων πλέον δὲ πίνω·
Κἂν δεήσῃ με χορεύειν,
Σκῆπτρον ἔχω τὸν ἄσκον·
Ὁ νάρθηξ δ' ἐδέν ἐστιν.
Ὁ μὲν θέλων μαχέσθαι,
Παρέστω, καὶ μαχέσθω.
Ἐμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον ἡδὺν
Ἐγκεράσας, φόρησον.
Ἐγὼ γέρων μέν εἰμι,
Σειληνὸν ἐν μέσοισι
Μιμούμενος χορεύσω.

XXXVIII.—DE SEIPSO.

Ego senex quidem sum; juvenibus plus tamen bibo: et si opus-fuerit me saltare, pro-sceptro teneo utrem; ferula enim nihil valet. Qui quidem volens *sit* pugnare, paulùm-decedat, et pugnet. Mihi poculum, ô puer, melleum, vinum dulce immiscens, afferto. Ego senex quidem sum; Silenum *verò* in medio imitans saltabo.

ΛΘʹ—ΕΙΣ ἙΑΥΤΟΝ.

῞Οτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Τότε μὲν ἦτορ ἰανθὲν
Λιγαίνειν ἄρχεται Μȣσας.
῞Οτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Ἀποῤῥίπτονται μέριμναι,
Πολυφρόντιδές τε βȣλαὶ
Ες ἁλικτύπȣς ἀήτας.
῞Οτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Λυσιπαίγμων τότε Βάκχος
Πολυανθέσιν μ᾽ ἐν αὔραις
Δονέει μέθῃ γανώσας.
῞Οτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Στεφανȣς ἄνθεσι πλέξας,

XXXIX.—DE SEIPSO.

Quando ego bibo vinum,tuncmihicor recreatum celebrare orditur Mufas. Quando ego bibo vinum, projiciuntur curæ, folicitaque confilia, in mare-pulfantes ventos. Quando ego bibo vinum, jocofus tunc Bacchus florulentas me inter halationes verfat, ebrietate hilarem-reddens. Quando ego bibo vinum, ferta floribus texens, imponenfque capiti, vitæ canto

Ἐπιθεὶς δὲ τῷ καρήνῳ,
Βιότε μέλπω γαλήνην.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Μύρῳ εὐώδεϊ τέγξας
Δέμας, ἀγκάλαις δὲ κέρην
Κατέχων, Κύπριν ἀείδω.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ὑπὸ κυρτοῖς δὲ κυπέλλοις
Τὸν ἐμὸν νόον ἁπλώσας,
Θιάσῳ τέρπομαι κέρων.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τόδε μοι μόνῳ τὸ κέρδος,
Τόδ' ἐγὼ λαϐὼν ἀποίσω·
Τὸ θανεῖν γὰρ μετὰ πάντων.

ſerenitatem. Quando ego bibo vinum, unguento ſuaveolenti tingens corpus, ulniſque puellam detinens, Venerem cano. Quando ego bibo vinum, gibboſisque poculis meum animum explicavi, ſodalitio delector juvenum. Quando ego bibo vinum, hoc mihi ſoli lucrum: hoc ego accipiens abſportabo: mori enim *commune eſt mibi* cum omnibus.

Μ'.—ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη.
Τὸν δάκτυλον δὲ δαχθεὶς
Τᾶς χειρὸς ὠλόλυξε.
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω.
Ὄφις μ' ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἁ δ' εἶπεν· Εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,

XL.—DE CUPIDINE.

Cupido aliquando inter rosas dormientem apiculam non vidit, sed vulneratus est. Digitum itaque morsus manûs *suæ* exclamavit *præ dolore.* Currensque *simul* et volans ad pulchram illam Cytheren, "Perii mater," inquit, "perii et-"prorsus-morior: serpens me percussit pusillus alatus, quem "vocitant apiculam ruricolæ". Illa igitur dixit, "Si acu-

Πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

ΜΑ'.—ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἱλαροὶ πίωμεν οἶνον,
Ἀναμέλψομεν δὲ Βάκχον,
Τὸν ἐφευρετὰν χορείας,
Τὸν ὅλας ποθοῦντα μολπὰς,
Τὸν ὁμότροπον Ἔρωτι,
Τὸν ἐρώμενον Κυθήρης·
Δι' ὃν ἡ μέθη λοχεύθη,
Δι' ὃν ἡ χάρις ἐτέχθη,
Δι' ὃν ἀμπαύεται λύπα,
Δι' ὃν εὐνάζετ' ἀνία.
Τὸ μὲν οὖν πόμα κερασθὲν
Ἁπαλοὶ φέρουσι παῖδες·

"leus cruciet *tantopere* apiculæ, quantopere, putas, dolent "*illi*, ô Cupido, quos tu petis?"

XLI.—IN SYMPOSIUM.

Hilares bibamus vinum, concelebrabimus et Bacchum, repertorem choreæ, integras expetentem cantilenas, illum iisdem-moribus-ac Amor, amasium Veneris: per quem ebrietas nata-est, per quem gratia genita-est, per quem cessat luctus, per quem sopitur tristitia. Equidem igitur poculum *huc probe-*

Τὸ δ' ἄχος πέφευγε μιχθὲν
Ἀνεμοτρόπῳ θυέλλῃ.
Τὸ μὲν ὖν πόμα λάβωμεν,
Τὰς δὲ φροντίδας μεθῶμεν.
Τί γὰρ ἐςὶ σοὶ κέρδος
Ὀδυρωμένῳ μερίμναις;
Πόθεν οἴδαμεν τὸ μέλλον;
Ὁ βίος βροτοῖς ἄδηλος.
Μεθύων θέλω χορεύειν,
Μεμυρισμένος δὲ παίζειν
Μετὰ καὶ καλῶν γυναικῶν.
Μελέτω δὲ τοῖς θέλεσιν,
Ὅσον ἐςὶν ἐν μερίμναις.
Ἱλαροὶ πίωμεν οἶνον·
Ἀναμέλψομεν δὲ Βάκχον.

---

mixtum molles afferunt puelli: mœſtitia autem fugit immixta ventis-agitatæ procellæ. Quidem igitur poculum ſumamus, curaſque dimittamus; quodnam enim eſt tibi commodum vexato ſolicitudinibus? Unde novimus quod futurum-eſt? Vita mortalibus *prorſus* incerta. Probè potus volo ſaltare, unguento perfuſusque ludere, unà-cum etiam formoſis fœminis. Curæ-eſto autem volentibus quantum eſt in curis. Hilares bibamus vinum; concelebrabimusque Bacchum.

ΜΒʹ.—ΕΙΣ ʽΕΑΥΤΟΝ.

Ποθέω μὲν Διονύσε
Φιλοπαίγμονος χορείας·
Φιλέω δʹ, ὅταν ἐφήβε
Μετὰ συμπότε λυρίζω.
Στεφανίσκες δʹ ὑακίνθων
Κροτάφοισιν ἀμφιπλέξας,
Μετὰ παρθένων ἀθύρειν
Φιλέω, μάλιϛα πάντων.
Φθόνον ἐκ οἶδʹ ἐμὸν ἦτορ·
Φθόνον ἐκ οἶδα δαϊκτόν.
Φιλολοιδόροιο γλώττης
Φεύγω βέλεμνα κᾶφα.
Στυγέω μάχας παροίνες
Πολυκώμες κατὰ δαῖτας,

XLII.—DE SEIPSO.

Desidero quidem Bacchi ludibundi choreas: gaudeoque, quando adolescentulo cum compotatore lyram-pulso: corollas autem hyacinthorum temporibus circumaptans, cum virginibus ludere *hoc* amo maximè omnium. Invidiam haud novit meum cor; invidiam nec curo mordacem: amantis-calumnias linguæ fugio sagittas leves. Abominor prælia inter-pocula-facta commessabundis in epulis: recens-mamil-

Νεοθηλαῖσιν ἅμα κέραις
Ὑπὸ βαρβίτῳ χορεύων,
Βίον ἥσυχον φέρωμεν.

ΜΓ'.—ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,
Ὅτι δένδρέων ἐπ' ἄκρων,
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.
Σὰ γάρ ἐςι κεῖνα πάντα,
Ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρεσιν ὧραι.
Σὺ δὲ φιλία γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων,
Σὺ δὲ τίμιος βροτοῖσι,

---

las-ferentibus simul-cum puellis, ad barbitum saltans, *dixerim* vitam placidam feramus.

XLIII.—AD CICADAM.

Beatam-prædicamus te, ô cicada. Quòd arboribus in summis, exiguum rorem cum-potaveris, rex veluti, cantillas: tua etenim sunt ista omnia, quæcunque vides in agris, et quæcunque producunt horæ. Tu enim amica es agricolarum, de nihilo quicquam lædens: tu item honorata mortalibus, æstatis dulcis propheta. Amant quidem te-

Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι.
Φιλέει δὲ Φοῖβος αὐτὸς.
Λιγυρὴν δ᾽ ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει,
Σοφὲ, γηγενὴς, φίλυμνε,
Ἀπαθὴς, ἀναιμόσαρκε·
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

ΜΔ΄.—ΕΙΣ ΤΟ ἙΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Ἐδόκουν ὄναρ τροχάζειν
Πτέρυγας φέρων ἐπ᾽ ὤμων.
Ὁ δ᾽ Ἔρως, ἔχων μόλυβδον
Περὶ τοῖς καλοῖς ποδίσκοις
Ἐδίωκε, καὶ κίχανεν.

Musæ; amat et Phœbus ipse, argutamque *tibi* dedit vocem; quinimo senectus haud te fatigat, ô docta, indigena, studiosa-cantandi, perturbationibus-carens, sanguinis-e--carnis-expers; propemodum es diis *ipsis* similis.

XLIV.—DE SOMNIO SUO.

Videbar per-somnium cursu-ferri, *etiam* alas gerens in humeris; ast Amor, habens plumbum circum pulchellos pedes, prosequebatur, et assecutus-est. Quid *sibi* vult som-

Τί θέλει ὄναρ τόδ' εἶναι;
Δοκέω δ' ἔγωγε πολλοῖς
Ἐν ἔρωσί με πλακέντα,
Διολισθανεῖν μὲν ἄλλοις,
Ἑνὶ τῷδε συνδεθῆναι.

ΜΕ'.—ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
Παρὰ Λημνίαις καμίνοις
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει, λαβὼν σίδηρον.
Ἀκίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα·
Ὁ δ' Ἔρως χολὴν ἔμισγε.

---

mum hoc esse? Existimo sanè multis in amoribus me implicatum, elabi quidem è cæteris, uno *in* hoc colligari.

XLV.—DE CUPIDINIS SAGITTIS.

Maritus ille Veneris *aliquando*, ad Lemnias fornaces, sagittas Amorum fabricabat, accepto ferro, cuspidesque *earum* tingebat Venus, melle dulci accepto: et Cupido fel miscebat. At Mars aliquando è prælio *reversus*, validam hastam vi-

Ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος ἠυτέλιζ' Ἔρωτος·
Ὁ δ' Ἔρως, Τόδ' ἐςιν, εἶπε,
Βαρύ· πειράσας νοήσεις.
Ἔλαβεν βέλεμνον Ἄρης.
Ὑπεμειδίασε Κύπρις.
Ὁ δ' Ἄρης ἀναςενάξας,
Βαρὺ, φησὶν, ἆρον αὐτό.
Ὁ δ' Ἔρως, Ἔχ' αὐτὸ, φησί.

---

brans, jaculum vilipendebat Cupidinis. At Cupido, " Hoc " *tamen* eſt," inquiebat, " grave: expertus ſenties." Recepit *itaque* jaculum Mavors: ſubriſit Venus. At Mars vehementer-ingemens, " Grave," inquit: "tolle illud." Cupido verò, " Habe *tibi* illud," ait.

MϚ'.—ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι.
Χαλεπώτερον δὲ πάντων,
Ἀποτυγχάνειν φιλῦντα.
Γένος ὐδὲν εἰς ἔρωτα.
Σοφίη, τρόπος, πατεῖται.
Μόνον ἄργυρον βλέπυσιν.
Ἀπόλοιπο πρῶτος αὐτὸς
Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τῦτον ὐκ ἀδελφὸς,
Διὰ τῦτον ὐ τοκῆες·
Πόλεμοι, φόνοι, δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διά τῦτον οἱ φιλῦντες.

XLVI.—IN AMOREM.

Durum *est* non amavisse, durumque etiam amavisse; durissimum verò omnium votis-excidere amantem. Genus nihil ad amorem; doctrina, indoles, conculcatur: solum argentum respiciunt. Pereat primus ille, qui argentum dilexit! Per hoc non *ampliùs est* frater, per hoc non *ampliùs* parentes: bella, cædes propter illud. Quodque pejus, perimus per hoc *nos* amantes.

ΜΖ'.—ΑΛΛΟ ΩΔΑΡΙΟΝ.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτάν.
Γέρων δ' ὅταν χορεύῃ,
Τρίχας γέρων μέν ἐςι,
Τὰς δὲ φρένας νεάζει.

ΜΗ'.—ΑΛΛΟ ΩΔΑΡΙΟΝ.

Δότε μοι λύρην Ὁμήρȣ
Φονίης ἄνευθε χορδῆς.
Φέρε μοι κύπελλα θεσμῶν.
Φέρε μοι, νόμȣς κεράσσω,
Μεθύων ὅπως χορεύσω.
Ὑπὸ σώφρονος δὲ λύσσης
Μετὰ βαρβίτων ἀείδων,
Σὸ παροίνιον βοήσω.

XLVII.—ALIUD ODARIUM.

Amo *ego* ſenem lepidum, amo juvenem ſaltorem : ſenex verò quando ſaltet, capillos ſenex quidem eſt, mente autem juveneſcit.

XLVIII.—ALIUD ODARIUM.

Date mihi lyram Homeri, ſanguineâ abſque chordâ: affer mihi pocula decretorum : affer mihi, leges miſcebo, probè-potus ut ſaltem. Præ ſobrio nempe furore, unà-cum barbitis canens, quiddam temulentum clarâ-voce-effundam.

ΜΠʹ.—ΑΛΛΟ.

Ἄγε, ζωγράφων ἄριςε,
Λυρικῆς ἄκȣε Μȣ́σης·
Φιλοπαίγμονες δὲ Βάκχαι
Ἑτεροπνόȣς ἐναύλȣς·
Γράφε τὰς πόλεις τὸ πρῶτον
Ἱλαράς τε καὶ γελώσας·
Ὁ δὲ κηρὸς ἂν δύναιτο,
Γράφε καὶ νόμȣς φιλȣ́ντων.

XLIX.—ALIUD.

Age, pictorum optime, lyricam exaudi Musam: jocabundæque Bacchæ geminas tibias: pinge civitates imprimis hilaresque et ridentes: Quinimo, si cera *id* possit *admittere*, pinge quoque instituta amantium.

N'.—ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ὁ τὸν ἐν πότοις ἀτειρῆ,
Νέον ἐν πότοις ἀταρϐῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων θεὸς κατῆλθε·
Ἁπαλὸν βροτοῖσι φίλτρον
Πότον ἄστονον κομίζων,
Γόνον ἀμπέλȣ τὸν οἶνον,
Πεπεδημένον ὀπώραις
Ἐπὶ κλημάτων φυλάττειν·
Ἵν', ὅταν τέμωσι βότρυν,
Ἄνοσοι μένωσι πάντες,
Ἄνοσοι δέμας θεητὸν,
Ἄνοσοι γλυκύν τε θυμὸν,
Ἐσέτȣς φανέντος ἄλλȣ.

L.—IN BACCHUM.

Qui in potationibus indefeſſum, juvenem in potationibus intrepidum, bonum in potationibus ſaltatorem reddit, deus *ille jam* deſcendit, lene mortalibus amatorium, poculum curis-vacuum portans; progeniem vitis vinum, involutum uvis in palmitibus reſervare. Ut quando reſecent racemum, integri maneant omnes, integri corpus ſpectabile, integri dulcemque animum, uſque-ad-annum redientem alium.

ΝΑ΄.—ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

Ἄρα τις τόρευσε πόντον,
Ἄρα τις μανεῖσα τέχνα
Ἀνέχευε κῦμα δίσκῳ
Ἐπὶ νῶτα τῆς θαλάσσης·
Ἄρα τις ὕπερθε λευκὰν
Ἁπαλὰν χάραξε Κύπριν
Νόος ἐς θεοὺς ἀερθεὶς,
Μακάρων φύσιος ἀρχάν.
Ὁ δέ νιν ἔδειξε γυμνάν·
Χ᾽ ὅσα μὴ θέμις ὁρᾶσθαι,
Μόνα κῦμα συγκαλύπτει.
Ἀλαλημένη δ᾽ ἐπ᾽ αὐτὰ
Βρύον ὡς ὕπερθε λευκὸν
Ἁπαλοχρόους γαλήνας
Δέμας εἰς πλόον φέρουσα,

LI.—IN DISCUM VENEREM EXHIBENTEM.

Ergo aliquis cælavit pontum; ergo quædam divina ars ſuperfudit fluctum diſco, ſuper terga maris. Ergo aliquis, ſuper *pelagus* candidam tenellam expreſſit Venerem, animus ad deos evectus, deorum naturæ principium. Iſque eam oſtendit nudam; et quæ nefas conſpici, ſola *ea* fluctus contegit. Vagans et ſuper *undas* ipſa, alga velut albida, ſuper dulcè-apparentem tranquillitatem, corpus in natationem tra-

Ῥόδιον πάροιθεν ἕλκει.
Ῥοδέων δ' ὕπερθε μαζῶν,
Ἁπαλῆς ἔνερθε δειρῆς
Μέγα κῦμα πρῶτα τέμνει.
Μέσον αὔλακος δὲ Κύπρις,
Κρίνον ὡς ἴοις ἑλιχθὲν,
Διαφαίνεται γαλήνας.
Ὑπὲρ ἀργύρῳ δ' ὀχεῦνται
Ἐπὶ δελφῖσι χορευταῖς
Δολερὸν νόον μερόπων
Ἔρως, Ἵμερος, γελῶντες.
Χορὸς ἰχθύων δὲ κυρτὸς,
Ἐπὶ κυμάτων κυβιςῶν,
Παφίης τε σῶμα παίζει,
Ἵνα νήχεται γελῶσα.

---

dens fluctum ab-ante trahit. Roseisque super papillis, teneram infra cervicem, ingentem fluctum *nunc* primum secat. In-medio sulci autem Venus, lilium sicut violis involutum, translucet *per* tranquillum. Super argento autem vehuntur, super delphinibus saltatoribus, dolosum animum mortalium, Amor, *et* Himerus, ridentes. Chorus pisciumque pandus, super fluctibus urinantium, Paphiæ et *circum* corpus ludit, quocunque natat ridens.

ΝΒʹ.—ΕΙΣ ΟΙΝΟΝ.

Τὸν μελανοχρῶτα βότρυν
Ταλάροις φέροντες ἄνδρες
Μετὰ παρθένων ἐπ᾽ ὤμων·
Κατὰ ληνὸν δὲ βαλόντες
Μόνον ἄρσενες πατοῦσι
Σταφυλὴν, λύοντες οἶνον,
Μέγα τὸν θεὸν κροτοῦντες
Ἐπιληνίοισιν ὕμνοις,
Ἐρατὸν πίθοις ὁρῶντες
Νέον ἐς ζέοντα Βάκχον.
Ὃν ὅταν πίνῃ γεραιὸς,
Τρομεροῖς ποσὶν χορεύει,
Πολιὰς τρίχας τινάσσων.

LIII.—IN VINUM.

Nigricantem racemum caniſtris ferentes viri, unà-cum virginibus, ſuper humeris; in torcular verò jacientes tantummodo mares calcant uvam, exprimentes vinum, magnopere deum plaudentes torculariis hymnis, jucundè in dolia tuentes novum ad efferveſcentem Bacchum. Quem quando biberit ſenex *aliquis*, tremulis pedibus ſaltat, canos capillos quaſſans

Ὁ δὲ παρθένον λοχήσας
Ἐρατὸς νέος ἐλυσθεὶς
Ἁπαλὸν δέμας χυθεῖσαν
Σκιερῶν ὕπερθε φύλλων
Βεβαρημένην ἐς ὕπνον.
Ὁ δ' Ἔρως ἄωρα θέλγων
Προδότιν γάμων γενέσθαι.
Ὁ δὲ μὴ λόγοισι πέιθων,
Τότε μὴ θέλουσαν ἄγχει.
Μετὰ γὰρ νέων ὁ Βάκχος
Μεθύων ἄτακτα παίζει.

Aſt virginem inſidiato amabili juveni jam-involuto, tenerum corpus fuſam, umbroſis ſuper frondibus gravatam in ſomnum; Amoreque intempeſtivè alliciente *eam* proditricem pudoris fieri: ipſoque minimè verbis *suis* ſuadente, tum-demum invitam comprimit: inter enim juvenes Bacchus ebrius intemperanter ludit.

ΝΓʹ.—ΕΙΣ ῬΟΔΟΝ.

Στεφανηφόρȣ μετ' ἦρος,
Μέλπομαι ῥόδον θερινόν.
Συνεταιρεῖ, αὔξει μέλπειν.
Τόδε γὰρ θεῶν ἄημα,
Τὸ δὲ καὶ βροτῶν τὸ χάρμα·
Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
Πολυανθέων ἐρώτων,
Ἀφροδίσιόν τ' ἄθυρμα.
Τόδε καὶ μέλημα μύθοις,
Χαρίεν φυτόν τε Μȣσῶν,
Γλυκὺ καὶ ποιȣ̃ντα πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς,
Γλυκὺ δ' αὖ λαϐόντα θάλπειν
Μαλακαῖσι χερσὶ κȣ́φαις

LIII.—IN ROSAM.

Coronigero unà-cum vere cantu-celebro rosam æstivam: *tu*, sodalis, adjuva cantare. Hæc etenim divorum halatio, hæc et mortaliumoblectamentum: Gratiisque ornamentum, in temporibus floridulorum amorum, Venereumque ludicrum. Hæc et argumentum-ante-alia fabulis, gratiosa plantaque Musarum: dulcis vel facienti periculum in spinosis semitis; dulcisque etiam sumenti, ut-foveat mollibus *in* mani-

Προσάγοντ' Ἔρωτος ἄνθος.
Ὡς σοφῷ τὸ δ' αὐτὸ τερπνὸν,
Θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ' ἑορταῖς.
Τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι,
Ῥοδόχρους δὲ κ' Ἀφροδίτα
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
Τόδε καὶ νεκροῖς ἀμύνει,
Τόδε καὶ χρόνον βιᾶται.
Χαρίεν ῥόδων δὲ γῆρας
Νεότητος ἔσχεν ὀδμήν.

---

bus levibus, *naribus* admoventi Amoris florem. Adeò docto *poetae* hæc quoque ipſa jucunda, conviviisque atque menſis, Dionyſiacisque ſolennitatibus. Quid enim abſque roſâ fiat? Roſeis digitis quidem Aurora, roſeis-cubitisque Nymphæ, roſeâ-cuteque Venus à doctis *poetis* vocatur. Hæc etiam ægrotantibus opitulatur; hæc vel mortuis auxiliatur: hæc et tempus vincit: gratioſa enim roſarum ſenectus juventutis *ſuae* retinet odorem. Age jam, originem *illius* dicamus:

Φέρε δὴ, φυὴν λέγωμεν.
Χαροφῆς ὅτ' ἐκ θαλάττης
Δεδροσωμένην Κυθήρην
Ἐλόχευε πόντος ἀφρῷ.
Πολεμόκλονον τ' Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεὺς.
Τότε καὶ ῥόδων ἀγητῶν
Νέον ἔρνος ἤνθισε χθὼν,
Πολυδαίδαλον λόχευμα.
Μακάρων θεῶν δ' ὅμιλος,
Ῥόδον ὡς γένοιτο, νέκταρ
Ἐπιτέγξας, ἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίȣ.

---

placido quando ex mari rore-conſperſam Venerem parturiebat pontus è-ſpumâ, belli crepamque Minervam è-vertice *ſuo* oſtendebat Jupiter: tunc etiam roſarum ſuſpiciendarum novam ſtirpem mirificè-ornavit tellus, admodùm-operoſum partum. Beatorum deorum autem concilium, roſa quò fieret, nectar intingens, oriri-fecit magnificam *illam* ex ſpinâ plantam immortalem Lyæi.

ΝΔ'.—ΕΙΣ 'ΕΑΥΤΟΝ.

Ὅτ' ἐγὼ νέοις ὁμιλῶ
Ἐσορῶν, πάρεστιν ἥβη·
Τότε δὴ τότ' ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι.
Περίμενόν με, Κυβήβα.
Παράδος, θέλω στέφεσθαι.
Πολιὸν δὲ γῆρας ἑκάς.
Νέος ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοί τις
Φερέτω ῥοιὰν ἀπ' ὀπώρης,
Ἵν' ἴδῃ γέροντος ἀλκὴν,
Δεδαηκότος μὲν εἰπεῖν,
Δεδαηκότος δὲ πίνειν,
Χαριέντως δὲ μανῆναι.

LIV.—DE SEIPSO.

Quando ego juvenum in cœtu-ſum, *eos* cernente, adeſt *mihi quoque* juventus: tunc nempe, tunc ad choream ille vetulus ego alatus-fio. Expectato me, Cubeba. *Roſas* præbe; volo coronari. Canaque ſenectus procul *absit*. Juvenis inter juvenes ſaltabo. Bacchicâ itaque mihi aliquis afferto malum-Punicum à vindemiâ: ut cernat ſenis vigorem, ſcientis quidem dicere, ſcientisque bibere, venuſtèque inſanire.

ΝΕ'.—ΕΙΣ ΤΟΥΣ ΕΡΩΝΤΑΣ ΩΔΑΡΙΟΝ.

Ἐν ἰσχίοις μὲν ἵπποι
Πυρὸς χάραγμ' ἔχουσι·
Καὶ Παρθίους τις ἄνδρας
Ἐγνώρισεν τιάραις.
Ἐγὼ δὲ τοὺς ἐρῶντας
Ἰδὼν ἐπίσταμ' εὐθύς.
Ἔχουσι γάρ τι λεπτὸν
Ψυχῆς ἔσω χάραγμα.

ΤΕΛΟΣ.

LV.—IN AMATORES, ODARIUM.

In clunibus quidem equi igne notam-impreſſam gerunt: et Parthos quivis viros agnoſcat *ex*-tiaris: ego autem amatores conſpicatus *semel*, novi ſtatim: gerunt enim quandam tenuem, intra animam, impreſſam notulam.

FINIS.

ΤΑ ΤΗΣ

ΣΑΠΦΟΥΣ

ΛΕΙΨΑΝΑ.

ΤΑ ΤΗΣ

ΣΑΠΦΟΥΣ

ΛΕΙΨΑΝΑ.

Α΄. ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Ποικιλόθρον᾽ ἀθάνατ᾽ Ἀφροδίτα,
Παῖ Διὸς δολοπλόκε, λίσσομαί σε,
Μή μ᾽ ἄταισι, μήδ᾽ ἀνίαισι δάμνα,
Πότνια, θυμόν.
Ἀλλὰ τῆδ᾽ ἐλθ᾽ αἴποτε, κατ᾽ ἔρωτα,

SAPPHONIS

FRAGMENTA.

I.—IN VENEREM.

O cui-tot-ubique-templa-extructa-sunt immortalis Venus, filia Jovis dolosa, oro te, nec me cladibus, necque tristitiis affligas, veneranda, animum. Sed huc venias: siquan-

Τᾶς ἐμᾶς αὔδας ἀΐοις, ἆς πολλάκι
Ἔκλυες· πατρὸς δὲ δόμον λιποῖσα
Χρύσιον ἦλθες,
Ἅρμ᾽ ὑποζεύξασα, καλοὶ δὲ σ᾽ ἄγον
Ὠκέες στρουθοὶ, πτέρυγας μελαίνας
Πυκνὰ δινεόντες ἀπ᾽ ὠράνω αἰθέ-
ρος διὰ μέσσω.
Αἶψα δ᾽ ἐξίκοντο· τὺ δ᾽, ὦ μάκαιρα,
Μειδιάσασ᾽ ἀθανάτῳ προσώπῳ,
Ἤρεἰ, ὄττι δ᾽ ἦν τὸ πέπονθα, κ᾽ ὄττι
Δεῦρο καλοῖμι.
Κ᾽ ὄττ᾽ ἐμῷ μάλιςα ἐθέλω γενέσθαι
Μαινόλᾳ θυμῷ, τίνα δ᾽ αὖτε πειθὼ,

---

do, cum amore, meam vocem audires, quam *tu* sæpe *antebac* exaudîsti; patrisque ædes cùm-reliqueris aureas ad me veniebas curru juncto; lepidique te vehebant celeres passerculi, alas nigrantes crebro-motu-quatientes, à cœlo aëra per medium. Celeriter autem perveniebant: tuque, ô beata-*diva*, arridens immortali vultu, percunctabaris, quidnam et esset, quod passa-fuissem, et quâ-de-causâ huc *te* advocarem. *Rogitabas* etiam quid meo præcipuè vellem fieri furenti animo; quemque porrò vim-persuadendi, et irretientem amo-

Καὶ σαγηνεῦσαν φιλότητα· τίς σ', ὦ
Σαπφοῖ, ἀδικεῖ;
Καὶ γὰρ αἲ φεύγει, ταχέως διώξει·
Αἲ δὲ δῶρα μὴ δέχετ', ἀλλὰ δώσει·
Αἲ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει,
Κ' ὄττι κελεύῃς.
Ελθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι
Θυμὸς ἱμέρει, τέλεσον, σὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

---

rem *peterem*; *addens*, "Quis te, ô Sappho, injuriâ afficit? "Et enim si *te ille nunc* fugiat, mox *te* sequetur; sique dona "non accipiat, at *statim* dabit; sique non amet, propediem "amabit, et quicquid jusseris, *faciet*." Veni mihi et nunc, gravibusque *me* libera ab ærumnis; quæcunque et mihi *te* perficere animus cupit, perfice; tuque ipsa socia esto.

Β′.—ΕΙΣ ΚΟΡΗΝ.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσι,
Ἔμμεν' ἀνὴρ, ὅςις ἐναντίον τοι
Ἱζάνει, καὶ πλασίον ἁδὺ φωνȣ́-
σας ὑπακȣ́ει.
Καὶ γελώσας ἱμερόεν· τό μοι τὰν
Καρδίαν ἐν ςήθεσιν ἐπτόασεν.
Ὡς ἴδον σε, βρόγχον· ἐμοὶ γὰρ αὐδᾶς
Οὐδὲν ἔθ' ἥκει.
Ἀλλὰ καμμὲν γλῶσσ' ἔαγε· ἂν δὲ λεπτὸν
Αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν·
Ὀμμάτεσσιν δ' ȣ̓δὲν ὄρημι· Βομβεῦ-
σιν δ' ἀκοαί μοι·

II.—IN PUELLAM.

Videtur mihi ille æqualis diis eſſe vir, qui coram te ſedet, et propè dulcè loquentem audit, et ridentem amabiliter: hoc mihi cor in pectoribus tremere-fecit; ut videam te, *quoad* fauces *laboro*; mihi enim vocis nihil ampliùs venit. Sed quidem lingua fracta eſt; perque ſubtilis ſtatim cutem ignis ſubtercurrit; oculisque nihil video; tinniunt et aures mihi;

Καδδ' ἵδρως ψυχρὸς χέεται· τρόμος δὲ
Πᾶσαν αἱρεῖ· χλωροτέρη δὲ ποίας
Ἐμμί· τεθνᾶναι δ' ὀλίγυ δέοισα
Φαίνομαι ἄπνυς.
Ἀλλὰ πᾶν τολματὸν, ἐπεὶ πένητα——
* * * * * * * * * * * * *

---

et fudor gelidus manat; tremorque totam occupat; pallidiorque herbâ fum; à morique paululùm remota videor anhelans: Sed *tamen* omne *est* audendum, quoniam pauperem——

Sofie Stanzlan
Oberpolá

ΤΙΝΑ ΤΟΥ

ΑΛΚΑΙΟΥ

ΛΕΙΨΑΝΑ

ΤΙΝΑ ΤΟΥ

ΑΛΚΑΙΟΥ

ΛΕΙΨΑΝΑ.

Α΄.

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω.

Β΄.

Ὕει μὲν ὁ Ζεὺς, ἐν δ᾽ ὠρανῷ μέγας
Χειμὼν, πεπάγασιν δ᾽ ὑδάτων ῥοαί. ***
Κάββαλλε τὸν χειμῶν᾽, ἐπὶ μὲν τιθεὶς
Πῦρ, ἐν δὲ κιρνὰς οἶνον ἀφειδέως
Μελιχρὸν, αὐτὰρ ἀμφὶ κόρσα
Μαλθακὸν ἀμφὶ γνοφάλλον *** ——

ALCÆI

FRAGMENTA.

I.

NULLAM, *Vare, sacrâ* vite priùs feveris arborem. HOR.

II.

Pluit quidem Jupiter, inque cœlo magna tempeftas, concreveruntque aquarum fluxus. Exturba hiemem, imponens et ignem, infundensque vinum non parcè mellitum, autem circum tempora, molle circum tomentum * * *

Γ′.

Τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄςρον περιτέλλεται,

Ἀδ᾽ ὥρα χαλεπὰ, πάντα δὲ διψᾷ ὑπὸ καύματος.——

Δ′.

— Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
Τὸ δ᾽ ἔνθεν· ἄμμες δ᾽, ἀν᾽ τὸ μέσον, ναΐ
Φορήμεθα σὺν μελαίνᾳ,
Χειμῶνι μοχθεῦντες μεγάλῳ· καλὰν
Πὰρ μὲν γὰρ ἄντλος ἱςοπέδαν ἔχει·
Λαῖφος δὲ πᾶν ἄδηλον ἤδη,
Καὶ λακίδες μεγάλαι κατ᾽ αὐτό·
Χαλᾶσι δ᾽ ἄγκυραι.——

III.

Irriga pulmones vino: nam aſtrum exoritur, et tempus anni grave, omniaque ſitiunt præ æſtu.

IV.

Alius enim hinc fluctus volvitur, alius inde: nos autem in medio nave agitamur cum atrâ, tempeſtate conflictantes magnâ; pulchram quidem enim pelagus mali-baſin occupat: linteumque omne evanidum jam, ac laceræ-partes magnæ in eo: laxant-ſeque anchoræ.

Ε'.

Τὸ δὴ εὖ γε κῦμα τῷ προτέρῳ νεομωςίχει,
Παρέξει δ' ἄμμι πόνων πολλὴν ἄντλην
Ἐπεὶ καὶ ναὸς ἐμβαίνει κατακόρως.——

ϛ'.

Μαρμαίρει δὲ μέγας δόμος χαλκῷ,
Πᾶσα δ' Ἄρει κεκόσμηται ςέγη,
Λαμπραῖσι κυανέαισιν· καττᾶν
Λευκοὶ καθύπερθεν ἵππειοι λόφοι
Νεύεσιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα·
Χάλκειαι δὲ πασσάλοις κρυπτοῖσιν
Περικείμεναι λαμπραὶ κναμίδες
Ἕρκος ἰσχυροβελὲς· θώρακες τε νέῳ λίνῳ

V.

Hic quidem benè faltem fluctus *cum* priore cum-nave-fimul-procedit, præbebit verò nobis laborum magnum pelagus, quandoquidem et navis ingreditur ut-plena-fit-aquâ.

VI.

Splendet *mea* magna domus ære: totumque Marti ornatum-eft tectum nitidis galeis: ex his candidæ fuprà ex-equino-pilo criftæ nutant, capitibus *fortium* virorum ornamenta. Æreæque clavis occultis *muro* undique-affixæ fplendidæ ocreæ, munimenta *tibiarum* valida-contra-fagittas; thoraces

Πὰρ δὲ Χαλκιδικαὶ σπάθαι·
Πὰρ δὲ ζώματα πολλὰ, καὶ κυπραττίδες.
Τῶν ἐκ ἔςι λαθέσθαι, ἐπειδὴ
Πρώτιςα ὑπὸ ἔργον ἔςαμεν τόδε.

Ζ΄.

Ἰὼ Πὰν! Ἀρκαδίας μεδέων κλεεννᾶς,
Ὀρχηστὰ, Βρόμιε, ἰὼ Πὰν! ἐπ' ἐμαῖς
Εὐφροσύναις, ταῖς ἀοιδαῖς ἄειδε κεχαρη-
Ἐνικήσαμεν ὡς ἐβελόμεθα, [μένος.
Καὶ νίκην ἔδοσαν θεοὶ, φέροντες
Παρὰ Πανδρόσε, ὡς φίλην Ἀθηνᾶν.
Κοῖλαι τε καταςπίδες βεβλημέναι·

---

tum-etiam novo lino, cavaque fcuta fuperinjecta; propeque *hæc*, Chalcidici enfes: propeque baltei multi, et paludamenta. Hæc non *pote* eft præterire, quandoquidem ea imprimis fub opus ftatuimus hoc.

VII.

Io Pan! Arcadiæ dominator inclytæ, faltator, Bromie, Io Pan! ad mea gaudia carminibus cane exultans. Vicimus ut volebamus, et victoriam donârunt dii, afferentes à Pandrofo ad charam Minervam.

Η'.

ΕΙΣ 'ΑΡΜΟΔΙΟΝ ΚΑΙ ΑΡΙΣΤΟΓΕΙΤΟΝΑ

'ΥΜΝΟΣ.

Ἐν μύρτῳ κλαδὶ τὸ ξίφος φορήσω
Ὥς περ Ἁρμόδιος καὶ Ἀριστογείτων,
Ὅτε τὸν τύραννον κτανέτην,
Ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Φίλταθ' Ἁρμόδ', οὔπω τέθνηκας·
Νήσοις δ' ἐν μακάρων σε φασὶν εἶναι,
Ἵνα περ ποδώκης Ἀχιλλεὺς,
Τυδείδην τε φασὶ τὸν ἐσθλὸν Διομήδεα.

VIII.

IN HARMODIUM ET ARISTOGITONEM HYMNUS.

In myrti ramo gladium geſtabo, ficut Harmodius et Ariſtogiton, quando tyrannum occiderunt, æquabili-jure-uti et Athenas fecerunt. Chariſſime Harmodie, nondum es mortuus, inſulis verò in beatorum te aiunt eſſe, ubi nimirum *est* celeripes Achilles, Tydidemque *eſſe* aiunt ſtrenuum Dio-

Ἐν μύρτȣ κλαδὶ τὸ ξίφος φορήσω,
Ὥς περ Ἁρμόδιος καὶ Ἀριςογείτων,
Ὅτ' Ἀθηναίης ἐν θυσίαις,
Ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Ἀεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιε γαὶ Ἀριςογείτων,
Ὅτι τὸν τύραννον κτανέτον,
Ἰσονόμȣς τ' Ἀθήνας ἐποιησάτον.

ΤΕΛΟΣ.

medem. In myrti ramo gladium geſtabo, ſicut Harmodius et Ariſtogiton, quum Minervæ in ſacrificiis, virum tyrannum Hipparchum interfecerunt. Semper veſtra gloria erit per terram, chariſſime Harmodie et Ariſtogiton, quia tyrannum occidiſtis, æquabili-jureque Athenas feciſtis.

NATIONAL LIBRARY OF SCOTLAND